*μενοι τῆς περὶ ταῦτα λιχνείας καὶ ἡδυπαθείας προήκαντο
τὴν ἰσομοιρίαν. τεκμήριον δὲ τοῦ λόγου ⟨τὸ⟩ καὶ νῦν
ἔτι τὰς θυσίας καὶ τὰ δημόσια δεῖπνα πρὸς μερίδα γίνε-
σθαι διὰ τὴν ἀφέλειαν καὶ καθαριότητα τῆς διαίτης· ὥσθ'
ὁ τὴν νέμησιν ἀναλαμβάνων ἅμα συνανασῴζει τὴν εὐτε-*
C *λειαν. ʽἀλλ' ὅπου τὸ ἴδιον ἔστιν, ἀπόλλυται τὸ κοινόν'·
ὅπου μὲν οὖν μὴ ἴσον ἔστιν· οὐ γὰρ οἰκείου κτῆσις ἀλλ'
ἀφαίρεσις ἀλλοτρίου καὶ πλεονεξία περὶ τὸ κοινὸν ἀδικίας
ἦρξε καὶ διαφορᾶς, ἣν ὅρῳ καὶ μέτρῳ τοῦ ἰδίου κατα-
παύοντες οἱ νόμοι τῆς ἴσα νεμούσης εἰς τὸ κοινὸν ἀρχῆς
καὶ δυνάμεως ἐπώνυμοι γεγόνασιν. ἐπεὶ μηδὲ στέφανον
ἀξίου διανέμειν ἡμῖν ἑκάστῳ τὸν ἑστιῶντα μηδὲ κλισίας
καὶ χώρας, ἀλλὰ κἂν ἐρωμένην τις ἢ ψάλτριαν ἥκῃ κομί-
ζων, ʽκοινὰ τὰ φίλων,' ἵν' ʽὁμοῦ πάντα χρήματα' γίνηται*
D *κατὰ τὸν Ἀναξαγόραν* (fr. 1). *εἰ δ' οὐδὲν ἡ τούτων ἰδίωσις
ἐπιταράττει τὴν κοινωνίαν τῷ τὰ μέγιστα καὶ πλείστης
ἄξια σπουδῆς εἶναι κοινά, λόγους, προπόσεις, φιλοφρο-
σύνας, παυσώμεθα τὰς Μοίρας ἀτιμάζοντες καὶ ʽτὸν
τῆς τύχης παῖδα κλῆρον' ὡς Εὐριπίδης* (fr. 989) *φησίν,
ὃς οὔτε πλούτῳ νέμων οὔτε δόξῃ τὸ πρωτεῖον, ἀλλ' ὅπως
ἔτυχεν ἄλλως ἄλλοτε συμφερόμενος τὸν μὲν πένητα καὶ
ταπεινὸν ἐπιγαυροῖ καὶ συνεξαίρει γευόμενόν τινος αὐτο-
νομίας, τὸν δὲ πλούσιον καὶ μέγαν ἐθίζων ἰσότητι μὴ
δυσκολαίνειν ἀλύπως σωφρονίζει.'*